2	*φής, φῄς*	*φῇς*	*φαίης*	*φάθι*
3	*φησί(ν)*	*φῇ*	*φαίη*	*φάτω*
Pl. 1	*φαμέν*	*φῶμεν*	*φαῖμεν*	
2	*φατέ*	*φῆτε*	*φαῖτε*	*φάτε*
3	*φασίν*	*φῶσι(ν)*	*φαῖεν*	*φάντων*

Imperfectum

Sg. 1	ἔφην	Pl. 1	ἔφαμεν
2	ἔφησθα, ἔφης	2	ἔφατε
3	ἔφη	3	ἔφασαν

Infinitivus – *φάναι*.
Participium – *φάσκων*.
Futurum – *φήσω* etc.
Aoristus – *ἔφησα* etc.

NB Формы индикатива настоящего времени, кроме формы 2 Sg. *φῄς, φής*, и императива настоящего времени – энклитики. У префиксальных глаголов ударение в этих формах по возможности переносится на префикс.

Глагол οἶδα *знать*

Среди глаголов, употребляющихся преимущественно в перфекте (см. урок 55), наиболее употребительным является глагол *οἶδα знать* (основа *ἰδ-/εἰδ-/εἰδε-/οἰδ-*). В этом глаголе особенно ясно проявляется результативное значение перфекта: *я узнал – я знаю*. Плюсквамперфект имеет значение имперфекта *я знал*.

	Indicativus	Coniunctivus	Optativus	Imperativus
Sg. 1	οἶδα	εἰδῶ	εἰδείην	
2	οἶσθα	εἰδῇς	εἰδείης	ἴσθι
3	οἶδε(ν)	εἰδῇ	εἰδείη	ἴστω
Pl. 1	ἴσμεν	εἰδῶμεν	εἰδεῖμεν	
2	ἴστε	εἰδῆτε	εἰδεῖτε	ἴστε
3	ἴσασι(ν)	εἰδῶσι(ν)	εἰδεῖεν	ἴστων

Infinitivus - *εἰδέναι*.

Participium - *εἰδώς, ότος; εἰδυῖα, ας; εἰδός, ότος*.

NB Конечный согласный основы -*δ*- перед *μ, τ, θ* переходит в -*σ*-. Конъюнктив и оптатив образуются от расширенной основы *εἰδε*-. Во множественном числе опта-

тива возможны и формы, образованные по аналогии с единственным числом: *εἰδείημεν, εἰδείητε, εἰδείησαν*.

	Plusquamperfectum	Futurum
Sg. 1	*ᾔδη, ᾔδειν*	*εἴσομαι*
2	*ᾔδησθα, ᾔδεις*	*εἴσῃ*
3	*ᾔδειν, ᾔδει*	*εἴσεται*
Pl. 1	*ᾖσμεν, ᾔδεμεν*	*εἰσόμεθα*
2	*ᾖστε, ᾔδετε*	*εἴσεσθε*
3	*ᾖσαν, ᾔδεσαν*	*εἴσονται*

NB Плюсквамперфект имеет как более архаические, так и более поздние формы. В футуруме чаще употребляются медиальные формы, но возможны и активные (*εἴσω*).

Adiectivum verbale - *ἰστέος*.

Синтаксис

1. В уроке 37 в связи с относительными предложениями уже упоминались предложения итеративные, в которых речь идет не об единичных, а повторяющихся действиях. Такие предложения могут быть не только относительными, но и, в частности, временными (с союзами, означающими *когда*, например, с союзом **ὁπότε**). Для выражения в итеративном предложении действия, повторявшегося в прошедшем времени, употребляется оптатив настоящего времени или аориста.

2. В уроке 36 шла речь о предикативном причастии при глаголах чувственного восприятия, которое ставится в винительном падеже в качестве приложения к дополнению управляющего глагола. В результате получается конструкция accusativus cum participio. Такое же причастие возможно и при глаголах мысли, например, при глаголе *οἶδα знать*. Если логическое подлежащее причастия одинаково с подлежащим управляющего

глагола, то оно при причастии не выражается, и таким образом получается не accusativus cum participio, а только причастие в именительном падеже. Например:

῎Ισθι ἐπ᾽ αὐτὰς τὰς θύρας ἀφιγμένος. Знай, что ты пришел к самым дверям.

Аналогично употребление причастия в именительном падеже и в выражении с префиксальным глаголом *σύνοιδα ἐμαυτῷ сознавать за собою*:

σύνοιδα ἐμαυτῷ δεὶν᾽[1] εἰργασμένος я сознаю, что совершил ужасное.

3. Причастия безличных глаголов, употребленные в аккузативе и грамматически не связанные ни с каким членом предложения, называются participium absolutum, например, *ἐξόν можно* (от *ἔξεστι*):

Καίπερ ἐξὸν αὐτῷ φυγεῖν ἐκ τῶν δεσμῶν οὐκ ἀπῄει. Хотя можно было ему бежать, он не ушел из тюрьмы.

Сократ и его ученики

Σωκράτης νεανίσκῳ Ξενοφῶντι ὄνομα ἀπαντήσας ποτὲ παριέναι οὐκ εἴα, ἀλλὰ πρὸς αὐτόν· «Φάθι, ὦ βέλτιστε, – ἔφη, – ποῦ πωλοῦνται οἱ ἰχθύες;» Τοῦ δὲ ἀποκριναμένου· «᾽Εν τῷ λιμένι», ἐκεῖνος πάλιν ἤρετο· «Ποῦ οἱ κέραμοι;» ῾Ο δέ φησιν· «Δῆλον ὅτι ἐν τῷ κεραμεικῷ». Σωκράτης δέ· «῏Αρ᾽ οἶσθα, ὅπου ἂν εὕροις τὴν ἀρετὴν καὶ τοὺς ἀγαθοὺς ἄνδρας;» ᾽Εκείνου δὲ οὐ φάσκοντος εἰδέναι, Σωκράτης· «῞Επου ἄρα, – ἔφη, – καὶ μάνθανε». Καὶ ἐκεῖνος ἕσπετο καὶ μαθητὴς ἐγένετο αὐτοῦ.

Τὴν ἀρχὴν Σωκράτης λιθοκόπος ὢν ὕστερον ἐτράπετο πρὸς τὸ φιλοσοφεῖν. Εὐτελὲς ἦν τοῦ γέροντος σχῆμα καὶ αἰσχρὸν τὸ πρόσωπον. ῾Οπότε περιίοι ἐν ἄστει, συνῄει παντοίοις ἀνθρώποις διαλεγόμενος ἢ νεανίαις ἢ ἐνδόξοις ῥήτορσιν ἢ δημιουργοῖς ἢ δούλοις. Πανταχοῦ δὲ ἐζήτει, τίς

---

[1] При элизии ударного гласного ударение переносится вперед (однако, если элизии подвергаются предлоги, союзы и некоторые из энклитик, просто исчезает).

εἰδείη τὸ ἀληθὲς καὶ τὸ ἀγαθὸν καὶ τὸ δίκαιον. «Οἶδα μέν, – ἔφασκεν, – αὐτὸς οὐδὲν εἰδώς. Ὅστις ἄν τι εἰδῇ ἤ τι εἰδέναι δοκῇ, τοῦτον εἴωθα ἐρωτᾶν καὶ ἐλέγχειν. Πολλοὶ γὰρ τὴν ἑαυτῶν τέχνην εὖ ἴσασιν ὥσπερ οἱ χαλκεῖς τὸ χαλκεύειν. Τί δὲ τὴν ψυχὴν ὠφελεῖ, οὐδεὶς αὐτῶν οἶδεν».

Τέλος δὲ ἐχθροί τινες τοῦ γέροντος κατηγόρησαν, καὶ οἱ τῆς ἡλιαίας δικασταὶ κατέκριναν αὐτοῦ τὸν θάνατον ὡς διαφθείροντος τοὺς νέους καὶ εἰσφέροντος καινὰ δαιμόνια. Καίπερ ἐξὸν αὐτῷ φυγεῖν ἐκ τῶν δεσμῶν οὐκ ἀπῄει. Οὕτω γὰρ Κρίτωνι τῷ φίλῳ ἐν τῷ δεσμωτηρίῳ παρόντι διελέχθη· «Σύνοιδα ἐμαυτῷ τὴν πατρίδα οὐκ ἀδικήσας. Εἴπερ ἡ πατρὶς φαίνεται ἐμὲ ἀδικήσασα, ὅμως οὐδενὶ τρόπῳ φαμὲν ἀνταδικητέον εἶναι. Οἱ γὰρ νόμοι ἐπιστάντες ὧδε ἂν φαῖεν· "Οὕτως εἶ σοφός, ὦ Σώκρατες, ὥστε οὐκ οἶσθα μητρὸς καὶ πατρὸς καὶ ἄλλων προγόνων τιμιωτέραν οὖσαν τὴν πατρίδα τὴν σε γεννήσασαν καὶ θρέψασαν καὶ παιδεύσασαν; Διὰ τοῦτο δεῖ πράττειν καὶ πάσχειν, ἃ ἂν προστάττῃ παθεῖν". Ταῦτα ἀκούσας, ὦ φίλτατε, οὐκ ἄπειμι ὡς δοῦλος ἄπιστος».

Αὐτοῦ δὲ τεθνεῶτος οἱ μαθηταὶ αὐτῷ μνημεῖα ἔθεσαν κάλλιστα. Πλάτων μὲν καὶ φιλοσοφίας καὶ ποιήσεως ἐμπειρότατος τὰ Σωκράτους δόγματα ἐν πολλοῖς διαλόγοις ἐδήλωσε, Ξενοφῶν δὲ τὸν βίον καὶ τὸν τρόπον ἐκείνου ἀκριβῶς ἀνέγραψεν.

Отрывок из трагедии

Οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις
Τραχεῖαν ὀργὴν ὡς ἀμήχανον κακόν.
Σοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν
Κούφως φερούσῃ κρεισσόνων βουλεύματα
Λόγων ματαίων οὕνεκ᾽ ἐκπεσῇ χθονός.

Eur. Med. 443 sqq.
(слова Ясона, обращенные к Медее)

ἀμήχανος, ον беспомощный, невозможный, непреодолимый

ἀνταδικέω совершать несправедливость в ответ

ἄπειμι (*от εἶμι*) уходить, удаляться (*fut.*)
ἄπιστος, ον неверный, подозрительный, не внушающий доверия
βούλευμα, τος τό воля, приказ
γεννάω порождать
δαιμόνιον, ου τό божество
δεσμοί, ῶν οἱ ремни
δεσμωτήριον, ου τό тюрьма, узилище
διάλογος, ου ὁ разговор
δόμος, ου ὁ дом, жилище
εἶμι идти (*атт. презенс в значении fut.*)
εἴπερ раз уж
ἐκπίπτω выпадать, быть изгнанным
ἐτραπόμην aor. II к *τρέπομαι* поворачиваться
ἡλιαία, ας ἡ гелиэя, суд присяжных
ἠρόμην aor. II (ср. *ἐρωτάω*) спросить
ἰχθύς, ύος ὁ рыба
καθοράω смотреть, замечать
κατηγορέω обвинять; доказывать (*ср. категория*)
κοῦφος, η, ον легкий
λιθοκόπος, ου ὁ каменотес
μνημεῖον, ου τό памятник
μάταιος, αία, αιον пустой, тщетный
Ξενοφῶν, ῶντος ὁ Ксенофонт
οἶδα знать
περίειμι (*от εἶμι*) обходить
προστάττω приказывать, предписывать
πρόσωπον, ου τό лицо, персона, маска
πάρειμι (*от εἶμι*) проходить мимо (fut.)
σύνειμι (*εἰμί*) быть вместе
σύνειμι (*εἶμι*) сходиться (*fut.*)
σύνοιδα сознавать
σχῆμα, τος τό внешность, состояние (*ср. схема*)
φάσκω говорить (*итератив от* **φημί** говорить)
φιλοσοφέω любить мудрость, философствовать
χαλκεύς, έως ὁ медных дел мастер, кузнец

Из Нового Завета

Ἐγώ εἰμι τὸ ἄλφα καὶ τὸ ὦ, λέγει κύριος ὁ θεός, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ (Апок. 1, 8).

Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύναται οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ (1 Кор. 15, 50).

Ἔλεγον οὖν αὐτῷ· ποῦ ἐστιν ὁ πατήρ σου; Ἀπεκρίθη Ἰησοῦς· οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου· εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ἂν ᾔδειτε (Ин. 8, 19).

Οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν... (Фил. 4, 12).

...*αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα· καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν ὅτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο καὶ οἴδατε* (1 Фес. 3, 3-4).

Καὶ τίς ὁ κακώσων ὑμᾶς ἐὰν τοῦ ἀγαθοῦ ζηλωταὶ γένησθε; Ἀλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην, μακάριοι. Τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε μηδὲ ταραχθῆτε (1 Петр. 3, 13-14).

ἀφθαρσία, ας ἡ нетление
ζηλωτής, οῦ ὁ ревнитель, приверженец
θλίβω теснить, давить
κακόω обижать, притеснять
κληρονομέω получать в наследство
μακάριος, α, ον блаженный
παντοκράτωρ, ορος ὁ Вседержитель
περισσεύω изобиловать, быть в избытке
ταπεινόω смирять
ταράττω волновать
φθορά, ᾶς ἡ тление

Из богослужения

Φαίνει μοι ὡς ἄνθρωπος, φησὶν ἡ ἄφθορος κόρη πρὸς τὸν ἀρχιστράτηγον, καὶ πῶς φθέγγῃ ῥήματα ὑπὲρ ἄνθρωπον; μετ' ἐμοῦ ἔφης γὰρ τὸν Θεὸν ἔσεσθαι καὶ σκηνώσειν ἐν τῇ μήτρᾳ μου... (Стихира на «Господи, воззвах...» Благовещения).

ἀρχιστράτηγος, ου ὁ главный военачальник, архистратиг
ἄφθορος, ον нетленный, невинный
μήτρα, ας ἡ утроба
φθέγγομαι произносить, издавать звук

Упражнения

I. Переведите: *ἴθι οἴκαδε, ἴσθι σοφός, ἴσθι οὐδὲν πράξας*, перепишите эти словосочетания, меняя данную глагольную форму на 1) imperat. 3 Sg. 2) imperf. 1 Sg. 3) part. praes. act. в начальной форме и 4) inf. praes. act.

II. Определите формы от *εἰμί, εἶμι* и *ἵημι*: *ἀπιέναι, ἀφιέναι – ἐὰν ἀφῇ, ἐὰν ἀπῇ, ὅταν ἀπίῃ, ὃς ἂν ἀφιῇ – εἴθε ἀφεῖεν, εἴθε ἀπεῖεν – εἴθε παρεῖεν* (2) – *ἐπεὶ ἀπῆσαν, ἐπεὶ ἀπῆσαν – ἀπιτέον ἐστίν, ἀφετέος ἐστίν.*

III. Переведите: 1. *Τί φῇς, ὦ βέλτιστε;* 2. *Διὰ τί οὐδὲν ἔφησθα;* 3. *Ποῦ ἦτε;* 4. *Ἆρα σύνοισθα σεαυτῷ ἀδικήσας;* 5. *Πότε ἡμῖν σύνιτε;* 6. *Ἆρα μὴ ἀπῆτε;* 7. *Πόσοι ἀπίασιν;* 8. *Ἆρ᾽ οὐκ ἐμοὶ παρέσεσθε;* 9. *Εἴθε φαῖτε, πότερον ἐκείνῳ συνῆτε ἢ ἄλλῳ τινί.* 10. *Οὐκ ἴσμεν, ποῖον ἔχει τρόπον.*

IV. Переведите на греческий: 1. При том, что стратегу можно было одержать [в будущем] множество новых побед, он убежал с битвы, бросил свои войска и был пойман в городе. 2. При том, что у Сократа была [возможность] избежать смерти, он захотел повиноваться законам отечества.

УРОК 57

Глаголы с презенсом по образцу ἵστημι; глаголы на -νυμι.
Глаголы πίμπλημι, ὀνίνημι, συμμείγνυμι.

Глаголы с презенсом по образцу ἵστημι

К первой группе II спряжения относятся также несколько глаголов с основой на -α-, например: *ὀνίνημι приносить пользу*, *(ἐμ)πίμπλημι наполнять*, *δύναμαι мочь*, *ἐπίσταμαι знать*. В настоящем времени они спрягаются по типу глагола *ἵστημι*. В единственном числе индикатива действительного залога представлен долгий вариант основы, во всех остальных формах – краткий. Основа презенса имеет удвоение.

Формы других времен у этих глаголов образуются так же, как и у глаголов I спряжения.

Activum

Praesens

	Indicativus	Coniunctivus	Optativus	Imperativus
Sg. 1	πίμπλημι	πίμπλω	πιμπλαίην	
2	πίμπλης	πίμπλῃς	πιμπλαίης	πίμπλη
3	πίμπλησι	πίμπλῃ	πιμπλαίη	πιμπλάτω
Pl. 1	πίμπλαμεν	πίμπλωμεν	πιμπλαίημεν	
2	πίμπλατε	πίμπλητε	πιμπλαίητε	πίμπλατε
3	πιμπλᾶσι(ν)	πίμπλωσι(ν)	πιμπλαίησαν	πιμπλάντων

Imperfectum

Sg. 1	ἐπίμπλην	Pl. 1	ἐπίμπλαμεν
2	ἐπίμπλης	2	ἐπίμπλατε
3	ἐπίμπλη	3	ἐπίμπλασαν

Infinitivus - *πιμπλάναι*.

Participium - *πιμπλάς, άντος; πιμπλᾶσα, άσης; πιμπλάν, πιμπλάντος*.

Medium-passivum

Praesens

	Indicativus	Coniunctivus	Optativus	Imperativus
Sg. 1	πίμπλαμαι	πίμπλωμαι	πιμπλαίμην	
2	πίμπλασαι	πίμπλῃ	πίμπλαιο	πίμπλω
3	πίμπλαται	πίμπληται	πίμπλαιτο	πιμπλάσθω
Pl. 1	πιμπλάμεθα	πιμπλώμεθα	πιμπλαίμεθα	
2	πίμπλασθε	πίμπλησθε	πίμπλαισθε	πίμπλασθε
3	πίμπλανται	πίμπλωνται	πίμπλαιντο	πιμπλάσθων

Imperfectum

Sg. 1	ἐπιμπλάμην	Pl. 1	ἐπιμπλάμεθα
2	ἐπίμπλω	2	ἐπίμπλασθε
3	ἐπίμπλατο	3	ἐπίμπλαντο

Infinitivus - *πίμπλασθαι*.

Participium - *πιμπλάμενος, πιμπλαμένη, πιμπλάμενον*.

NB Окончание 2 Sg. -*σαι* в индикативе остается в неизменном виде, в конъюнктиве, оптативе, императиве и имперфекте сигма выпадает.

Глаголы на -*νυμι*

Ко второй группе глаголов II спряжения относятся такие глаголы, у которых между глагольной основой и окончаниями в настоящем времени и имперфекте вставляется суффикс -*νυ*, если основа оканчивается на согласный звук (*δείκνυμι показывать*, глагольная основа *δεικ*-) или суффикс -*ννυ*, если основа оканчивается на гласный звук (*σκεδάννυμι рассеивать*, глагольная основа *σκεδα*-). На стыке согласной основы и корня возможна

ассимиляция: ὄλλυμι < ὄλνυμι *губить*, ζώννυμι < ζώσνυμι *опоясывать*.

Activum

Praesens

	Indicativus	Coniunctivus	Optativus	Imperativus
Sg. 1	δείκνῡμι	δεικνύω	δεικνύοιμι	
2	δείκνῡς	δεικνύῃς	δεικνύοις	δείκνῡ
3	δείκνῡσ(ν)	δεικνύῃ	δεικνύοι	δεικνύτω
Pl. 1	δείκνυμεν	δεικνύωμεν	δεικνύοιμεν	
2	δείκνυτε	δεικνύητε	δεικνύοιτε	δείκνυτε
3	δεικνύασι(ν)	δεικνύωσι(ν)	δεικνύοιεν	δεικνύντων

Imperfectum

Sg. 1	ἐδείκνῡν	Pl. 1	ἐδείκνυμεν
2	ἐδείκνῡς	2	ἐδείκνυτε
3	ἐδείκνῡ	3	ἐδείκνυσαν

Infinitivus – δεικνύναι.
Participium – δεικνῦς, ύντος; δεικνῦσα, ύσης; δεικνύν, ύντος.
Futurum – δείξω (спрягается как φυλάξω).
Aoristus – ἔδειξα (спрягается как ἐφύλαξα).
Perfectum – δέδειχα (спрягается как πεφύλαχα).
Plusquamperfectum – ἐδεδείχη, -ειν (спрягается как ἐπεφυλάχη, -ειν).

Medium-passivum

Praesens

	Indicativus	Coniunctivus	Optativus	Imperativus
Sg. 1	δείκνυμαι	δεικνύωμαι	δεικνυοίμην	
2	δείκνυσαι	δεικνύῃ	δεικνύοιο	δείκνυσο
3	δείκνυται	δεικνύηται	δεικνύοιτο	δεικνύσθω
Pl. 1	δεικνύμεθα	δεικνυώμεθα	δεικνυοίμεθα	
2	δείκνυσθε	δεικνύησθε	δεικνύοισθε	δείκνυσθε
3	δείκνυνται	δεικνύωνται	δεικνύοιντο	δεικνύσθων

Imperfectum

Sg. 1	ἐδεικνύμην	Pl. 1	ἐδεικνύμεθα
2	ἐδείκνυσο	2	ἐδείκνυσθε
3	ἐδείκνυτο	3	ἐδείκνυντο

Infinitivus – *δείκνυσθαι.*
Participium – *δεικνύμενος, δεικνυμένη, δεικνύμενον.*
Futurum med. – *δείξομαι* (спрягается как *φυλάξομαι*).
Aoristus – *ἐδειξάμην* (спрягается как *ἐφυλαξάμην*).
Futurum pass. – *δειχθήσομαι* (спрягается как *φυλαχθήσομαι*).
Aoristus pass. – *ἐδείχθην* (спрягается как *ἐφυλάχθην*)
Perfectum med. (pass.) – *δέδειγμαι* (спрягается как *πεφύλαγμαι*).
Plusquamperfectum – *ἐδεδείγμην* (спрягается как *ἐπεφυλάγμην*).

Закат греческой свободы
(338 г. до Р.Х.)

Ἐν τῷ πολέμῳ, ὃν οἱ Πελοποννήσιοι καὶ Ἀθηναῖοι ἐπολέμησαν ἀλλήλοις, παθήματα ἐγένετο τῇ Ἑλλάδι, οἷα οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ. Ἐνεπίμπλατο γὰρ μετὰ τοῦδε τοῦ πολέμου ἡ Ἑλληνικὴ γῆ πόλεων ἀνατραπεισῶν καὶ ἐμπρησθεισῶν, πολλοὶ δὲ ἄνθρωποι ἔφευγον ἢ ἀπέθνησκον, ὁ μὲν ἐκ λιμοῦ, ὁ δὲ ἐκ φόνου.

Οἱ οὖν Λακεδαιμόνιοι καίπερ νικήσαντες ὅμως τῆς ἡγεμονίας οὐκ ὠνίναντο· κατασταθέντες γὰρ εἰς καινοὺς ἀγῶνας ἐνίοτε ἡττήθησαν. Τέλος δὲ οὐκ ᾐσχύνθησαν τὴν Ἑλλάδα προδόντες συμμαχίαν ποιήσασθαι τοῖς Πέρσαις. Ἀρταξέρξης τότε βασιλεὺς ὢν εἰρήνην βιαίως ἔπραξε, καὶ σχεδὸν πάντες οἱ Ἕλληνες εἴασαν αὐτὸν πάλιν ἔχειν τὰς τῶν Ἰώνων πόλεις ὡς ὑπηκόους. Μόνοι οἱ Θηβαῖοι πολλὴν ἀνδρείαν ἀποδεικνύντες τοῖς Σπαρτιάταις ἀντέστησαν. Ἐπαμεινώνδου στρατηγοῦντος εἰς τὴν Πελοπόννησον εἰσβαλόντες τὸ στράτευμα ἐκείνων οὕτω διεσκέδασαν, ὥστε τὴν τῆς Σπάρτης ἀρχὴν εἰς ἀεὶ ἀπώλεσαν. Τοῦ δὲ

Ἐπαμεινώνδου ἀποθανόντος καὶ ἡ τῶν Θηβαίων ἡγεμονία ἀπώλετο.

Ἀλλὰ καινὸς κίνδυνος τῇ τῶν Ἑλλήνων ἐλευθερίᾳ ἐκφύσεσθαι ἔμελλεν. Φίλιππος γὰρ ὁ τῶν Μακεδόνων βασιλεὺς τὰ ἐκεῖ ἔθνη ἐνεργῶς συνδήσας ἐβουλεύσατο ἐπιστάμενος τὰς τῶν Ἑλλήνων διαφορὰς τούτους βίᾳ εἰς μίαν συμμαχίαν συζευγνύναι. Οὗτος ὁ ἀνὴρ ἀεὶ ἐδείκνυ βίαιόν τε καὶ δολερὸν θυμόν. Εἰώθει τοὺς ἀνθρώπους μᾶλλον χρυσῷ ἢ λόγοις πεῖσαι. Ἀλλ' οἱ Ἀθηναῖοι αὐτῷ ἠναντιώθησαν πεποιθότες τῷ Δημοσθένει, ὃς δεινοτάτοις λόγοις τοῖς πολίταις ἔδειξεν, ὡς οἴκοι καθήμενοι οὐδὲν ὀνινᾶσι τὴν κοινὴν ἐλευθερίαν, καὶ ἐκέλευσε μὴ παρεῖναι τὸν σωτηρίας καιρόν. Ἀλλὰ Φίλιππος ταῖς τῶς Θηβαίων καὶ Ἀθηναίων φάλαγξι συμμείξας τὸ στράτευμα αὐτῶν διεσκέδασεν. Ἐκ τῆσδε οὖν τῆς ἡμέρας ἡ τῆς Ἑλλάδος ἐλευθερία πάντως ἀπωλώλει. Κύριος ἄρα γενόμενος σχεδὸν πάσης τῆς Ἑλλάδος Φίλιππος τοὺς δήμους συνεκάλεσεν εἰς τὸν Ἰσθμὸν ὡς καταστήσων τῶν Πανελλήνων συμμαχίαν. Ὤμοσε τότε πρὸς τὴν Ἀσίαν πορεύσεσθαι ὡς ἐλευθερώσων τοὺς ἐκεῖ Ἕλληνας καὶ ἐμπρήσων τὰ τῶν Περσῶν βασίλεια.

Τρισὶν ἔτεσιν ὕστερον αὐτοῦ φονευθέντος Ἀλέξανδρος ὁ υἱὸς αὐτοῦ, διέπραξεν, ἃ ὁ πατὴρ ἐβούλετο, ἀποδείξας πολλὰ καὶ θαυμάσια ἔργα.

Сентенции

1. *Εἰ μὴ φυλάξῃς μίκρ', ἀπολεῖς τὰ μείζονα.* 2. *Ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται.* 3. *Χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος, κακὸν δὲ κἂν (καὶ ἂν) ἐν ἡμέρᾳ γνοίης μιᾷ.* 4. *Τῷ Ἀλεξάνδρῳ ἐν Ἰλίῳ θύοντι ἔφη ἱερεὺς δείξειν τὴν Πάριδος λύραν. «Τὴν Ἀχιλλέως, – ἔφη Ἀλέξανδρος, – εἰ ἔχεις, δεῖξον, καὶ πρὸ τῆς λύρας τὸ δόρυ».*

Эпиграмма

Ὁ Ζεὺς ἀντὶ πυρὸς πῦρ ὤπασεν ἄλλο, γυναῖκας·
εἴθε δὲ μήτε γυνὴ μήτε τὸ πῦρ ἐφάνη.
πῦρ μὲν δὴ ταχέως καὶ σβέννυται· ἡ δὲ γυνὴ πῦρ
ἄσβεστον, φλογερόν, πάντοτ' ἀναπτόμενον.

ἀνάπτω 1) привязывать, прикреплять 2) воспламенять
ἀποδείκνυμι выказывать
ἀπόλλυμι губить, терять; **ἀπόλλυμαι** (*perf.* *ἀπόλωλα*) погибать
βίαιος, αία, αιον (*также двух окончаний*) насильственный; вынужденный
δείκνυμι показывать
Δημοσθένης, ους ὁ Демосфен
διασκεδάννυμι раскидывать, рассеивать
ἐμπίμπλημι наполнять
ἐμπίμπρημι поджигать
Ἐπαμεινώνδας, ου ὁ Эпаминонд
ζεύγνυμι запрягать, соединять
ἴσος, η, ον равный *(ср. изотермы, изобары)*
μείγνυμι *см. μίγνυμι*
μίγνυμι смешивать
οἴκοι дóма
ὄμνυμι клясться
ὀνίνημι приносить пользу; **ὀνίναμαι** получать или иметь пользу
ὀπάζω давать в качестве спутника
Πανέλληνες, ων οἱ все греки
πάντοτε постоянно
πίμπλημι наполнять
πίμπρημι сжигать
σβέννυμι гасить
σκεδάννυμι рассеивать
συζεύγνυμι сопрягать, соединять
συμμείγνυμι смешивать
συνδέω связывать, соединять
φλογερός, ά, όν жгучий
φόνος, ου ὁ убийство
χρυσός, οῦ ὁ золото

Из Нового Завета

Καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μή, ῥήξει ὁ οἶνος τοὺς ἀσκοὺς καὶ ὁ οἶνος ἀπόλλυται καὶ οἱ ἀσκοί, ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινούς (Мк. 2, 22).

...καὶ ἔτι καθ᾽ ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι (1 Кор. 12, 31).

Τὸ πνεῦμα μὴ σβέννυτε, προφητείας μὴ ἐξουθενεῖτε, πάντα δὲ δοκιμάζετε, τὸ καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε (1 Фес. 5, 19-22).

Ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις θυμοῦ ἔκραζον λέγοντες· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων. Καὶ ἐπλήσθη ἡ πόλις τῆς συγχύσεως... (Деян. 19, 28).

ἀσκός, οῦ ὁ кожаный мех
δοκιμάζω испытывать
εἶδος, ους τό вид
ἐξουθενέω ни во что не ставить, презирать
θυμός, οῦ ὁ зд. гнев

κράζω кричать
οἶνος, ου ὁ вино
παλαιός, ά, όν старый, ветхий
ῥήγνυμι разрывать
σύγχυσις, εως смятение, смущение
ὑπερβολή, ῆς ἡ высшая степень

Из богослужения

Ἔμπλησον, Ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης ἡ γεννήσασα τὸν αἴτιον (Малый параклисис Богородице, песнь 5).

Ἰδὼν ὁ Κτίστης ὀλλύμενον τὸν ἄνθρωπον χερσὶν ὃν ἐποίησε κλίνας οὐρανοὺς κατέρχεται... (Канон Рождества, песнь 1).

Τὸν τοῦ νόμου ποιητὴν ἐκ μαθητοῦ ὠνήσαντο ἄνομοι, καὶ ὡς παράνομον αὐτόν τῷ Πιλάτου βήματι ἔστησαν... (Утреня Великой Пятницы, стихира по 6 Евангелии, глас 4)

ἀκήρατος, ον чистый
ὄλλυμι губить
παράνομος, ον беззаконный
ὠνέομαι покупать

Упражнения

I. Повторите упражнение 31, II.

II. Замените формами от глагола *ὀνίνημι*: *ὠφελοῦμεν, ὠφελεῖν, ὠφελῶν, ὠφελήσεις, ὠφέλησον, εἴθε ὠφελοίης, ὠφέλει, ὠφελούμενος, ὠφελεῖσθαι.*

III. Образуйте к формам от *λύω* соответствующие формы от *δείκνυμι*: *λύει, λύουσιν, ἐὰν λύητε, λῦε, λύων, ἔλυον* (2), *λυόμενοι, λύειν, λύου, ἐλύου, λύοιτο ἄν, λύεσθαι, λελύκατε, λυτέον ἐστίν.*

IV. Переведите, обращая внимание на переходность глагольных форм: 1. *Ἔρις πολλὰ ἤδη ἀπώλλυ.* 2. *Καὶ δῆμοι διαφοραῖς ἀπόλλυνται καὶ ἀεὶ ἀπολοῦνται.* 3. *Διαφορᾷ ἀπώλετο καὶ ἡ τῆς Ἑλλάδος ἐλευθερία.* 4. *Πολλὰ τῶν Ἑλληνικῶν ἱερῶν ἀπόλωλεν.* 5. *Πολλὰ μὲν αὐτῶν ὁ χρό-*

νος ἀπολώλεκεν. 6. *Ἄλλα δὲ οὐκ ἂν ἀπώλετο, εἰ μὴ ἡ τῶν ἀνθρώπων ἄνοια αὐτὰ ἀπώλεσεν*. 7. *Ἀλλ' οὐκ ἀπολεῖται ἄλλα πολλά, ἃ οἱ Ἕλληνες ἡμῖν δεδώκασιν*.

V. Переведите, определяя конструкции и называя их латинские соответствия: 1. *Ἀλκιβιάδης ἀκούσας, ὅτι οἱ Ἀθηναῖοι θάνατον αὐτοῦ κατέκριναν, λέγεται βοῆσαι· «Δεικνύωμεν, ὅτι ζῶμεν»*. 2. *Φίλιππος δεινότατος ἦν καὶ ψεύδειν καὶ βιάζεσθαι τοὺς ἀνθρώπους*. 3. *Ὁ αὐτὸς ὤμοσε τοῖς Πανέλλησιν ἡγεμὼν ἔσεσθαι ἐπὶ τοὺς Πέρσας*. 4. *Ἐπαμεινώνδας, ὃν τοῖς Θηβαίοις ἐφεστάναι ἀκηκόατε, ἐν μάχῃ ἀπώλετο*. 5. *Φίλιππος ἐφονεύθη πρὶν συμμεῖξαι τοῖς Πέρσαις*. 6. *Σωκράτης εὖ ἠπίστατο τὴν τοῦ διαλέγεσθαι τέχνην*. 7. *Δημοσθένης προέτρεψε τοὺς Ἀθηναίους ἀντίστασθαι τοῖς Μακεδόσιν*.

VI. Переведите на греческий: 1. О, если бы греки не противостояли Филиппу, но, будучи его союзниками, сошлись бы с персами! 2. Perierunt, pereunt et semper peribunt, qui dementes sunt quosque deus perdere statuit.

УРОК 58

Глаголы на -*νω* и глаголы на -*σκω* с презентной редупликацией.
Причастие при *φθάνω, τυγχάνω, λανθάνω*; genetivus при *ἁμαρτάνω, ἐπιλανθάνομαι, μέμνημαι*; dativus при *ἐντυγχάνω*; *γεγονώς*; *οὔ φημι*; предлоги *ἐγγύς, μέχρι*.

Глаголы на -*νω*

У некоторых глаголов основа презенса образуется с помощью суффикса -*ν*- или его модификаций (-*αν*-, -*ιν*-, -*υν*-). Как правило, они имеют два варианта глагольной основы. Причем эти варианты основы либо оба оканчиваются на гласные звуки (как у глагола *τίνω платить штраф*, основа *τῑ*(*τει*)-/*τῐ*-), либо оба оканчиваются на согласные звуки (как у глагола *λανθάνω быть скрытым*, основа *ληθ*-/*λαθ*-), либо один вариант основы оканчивается на согласный, а другой имеет расширение -*η* (как у глагола *τυγχάνω достигать, случаться*, основа *τυχ*-/*τυχη*-/ *τευχ*-).

Часть глаголов с суффиксом -*αν*- в основе презенса имеет вставной носовой звук (инфикс), например: у глагола *λα-ν-θ-άν-ω быть скрытым* при основе *ληθ*-/*λαθ*-, у глагола *λα-μ-β-άν-ω брать* при основе *ληβ*-/*λαβ*-. Такой же инфикс известен и в основе презенса латинских глаголов (vi-n-co, vici, victum *побеждать*).

Глаголы на -*σκω* с презентной редупликацией

У глаголов, первоначально обозначавших начало действия (verba inchoativa), основа настоящего времени образуется с помощью суффикса -*σκ*- или -*ισκ*-, например: *ἀποθνῄσκω умирать, εὑρίσκω находить*. Такие глаголы на -*σκω* в основе презенса могут иметь также и удвоение (как у глагола *τιτρώσκω ранить*, основа *τρω*-).

Синтаксис

1. В уроках 36, 39 и 40 уже шла речь о предикативных причастиях, употребляемых как именная часть сказуемого при глаголах *φαίνομαι являться, быть видным, παύομαι переставать, ἥδομαι радоваться.* Аналогично употребление причастий и при глаголах *φθάνω предупреждать, опережать, λανθάνω быть скрытым, τυγχάνω случаться.* В таком случае глаголы переводятся наречными выражениями *раньше, тайно, тогда,* а причастия при них передаются личными формами глагола. Например:

ἔφθασαν τοὺς πολεμίους καταλαβόντες τὰ ἄκρα они заняли высоты раньше неприятелей, буквально: *опередили неприятелей, заняв высоты,*

ἔλαθε ποιήσας он сделал незаметно, буквально: *он остался незамеченным, сделав,*

ἐτύγχανε ποιῶν он в то время делал.

2. При глаголах со значением *вспоминать о чем-либо* (*μιμνήσκομαι*), *помнить о чем-либо* (*μέμνημαι*), *забывать о чем-либо* (*ἐπιλανθάνομαι*) ставится родительный падеж (genetivus obiectivus). В латинском языке ему соответствует также genetivus obiectivus. Родительный падеж ставится и при глаголах со значением *достигать чего-либо* (*τυγχάνω*), *не достигать чего-либо, ошибаться* (*ἁμαρτάνω*).

3. С дательным падежом употребляются глаголы, обозначающие сближение, общение, соприкосновение (см. урок 15 – dativus sociativus, *дательный сообщества*), в том числе и глагол *ἐντυγχάνω встречаться с кем-либо, попадать во что-либо, обращаться к кому-либо.*

4. При активном перфектном причастии *γεγονώς рожденный* (от глагола *γίγνομαι рождаться*) ставится винительный падеж времени (accusativus temporis) для обозначения возраста, например:

δέκα ἔτη γεγονώς десяти лет от роду, буквально: *существующий рожденным десять лет.*

5. Глагол *φημί говорить* при употреблении с отрицанием – *οὔ φημι* (в том числе и со сложным отрицанием, например, *οὐκέτι более не*) – получает значение *отрицать* (собственно – *не говорить*). Например:

οἱ στρατιῶται οὐκέτι ἔφασαν προβήσεσθαι солдаты больше не говорили, что пойдут вперед; солдаты отказывались идти вперед.

6. Предлог *μέχρι до* (во временном и пространственном значениях) употребляется с родительным падежом:

μέχρι γήρως до старости,

μέχρι Ἐρυθρᾶς θαλάττης до Красного моря.

7. Наречие *ἐγγύς вблизи,* употребляемое в качестве предлога, соединяется с родительным падежом:

ἐγγὺς τῆς πόλεως вблизи города.

Александр Македонский

Ἀλέξανδρος νέος ὢν ἤδη φιλοτιμότατος ἦν. Ὁπότε γὰρ μάθοι Φίλιππον ἢ πόλιν τινὰ ἑλόντα ἢ μάχην νικήσαντα, ἐβόα· «Πάντα προλήψεται ὁ πατήρ. Ἐμοὶ δὲ οὐδὲν ἀπολείψει ἔργον ἀποδείξασθαι μέγα καὶ λαμπρόν». Τὸν Φίλιππον τεθνεῶτα πεπυσμένοι οἵ τε Ἀθηναῖοι καὶ οἱ Θηβαῖοι τῆς συμμαχίας ἀπέστησαν. Ἀλλὰ τοῦτο ἥμαρτον καὶ φοβερῶς ἔτεισαν τὴν ἀπόστασιν. Ἀλέξανδρος αὐτοὺς γὰρ ἔφθη ἐπιθέμενος. Ἐφείσατο μόνον τῶν Ἀθηνῶν χάριν ἀποδοὺς τῇ τῆς φιλοσοφίας ἕδρᾳ καὶ αὐτὸς ὢν Ἀριστοτέλους τοῦ φιλοσόφου μαθητής.

Ἐπεὶ οὖν τὰ ἐν τῇ Ἑλλάδι πράγματα ἐπέρανεν, σὺν τρισμυρίοις στρατιώταις ἐξήλασεν εἰς τὴν Ἀσίαν καὶ ἠλευθέρωσε τοὺς ἐκεῖ Ἕλληνας στρατιὰν τῶν Περσῶν πολλῷ μείζω καταβαλὼν ἐγγὺς τοῦ Ἑλλησπόντου. Ἐντεῦθεν ἐξελαύνει διὰ τῶν ὀρῶν, καὶ ἀφιγμένος εἰς τὸ πεδίον συμμείγνυσιν ὅλῃ τῇ τῶν Περσῶν δυνάμει, ἧς βασιλεὺς αὐτὸς ἐστρατήγει. Τοῦτον νικήσας οὐκ ἐδίωξεν, ἀλλὰ

παρελάσας τὴν θάλατταν κατεστρέψατο τοὺς Φοίνικας καὶ Αἰγυπτίους. Ἐν δὲ τῷ τοῦ Νείλου στόματι πόλιν ἔκτισεν, ἣν ἐκάλεσεν Ἀλεξάνδρειαν. Ἦν γὰρ Ἀλεξάνδρου, ὅπου ἐντύχοι τόπῳ ἱκανῷ, πόλιν Ἑλληνικὴν ἱδρύειν. Μετὰ δὲ τοῦτο ἤλασεν εἰς τὴν Μεσοποταμίαν ὡς τὸ τρίτον συμμείξων τοῖς Πέρσαις. Οὐδὲ τότε τῆς νίκης ἡμαρτηκὼς ἕσπετο βασιλεῖ σὺν ὀλίγοις σατράπαις φυγόντι. Ἐνέτυχεν αὐτῷ τρωθέντι ὑφ᾽ ἑταίρου καὶ τελευτῶντι.

Καίπερ ἑλὼν τὴν Βαβυλῶνα καὶ τὰ Σοῦσα καὶ τὰ Ἐκβάτανα καὶ εἰληφὼς μακρὰς χώρας τὴν ἑαυτοῦ ἀρχὴν αὐξῆσαι καὶ πρὸς τοὺς Ἰνδοὺς ἐκτεῖναι ἐπεθύμει. Οἱ δὲ στρατιῶται σὺν αὐτῷ μέχρι τοῦ Ἰαξάρτου ἀφικόμενοι ἐκεῖ οὐκέτι ἔφασαν προβήσεσθαι ὡς πολλὰ καὶ χαλεπὰ πεπονθότες. Ἐπανελθὼν πρὸς τὴν Βαβυλῶνα ἀπέθανε δύο καὶ τριάκοντα ἔτη γεγονώς. Ἐπεὶ οὐκ ἔλαθε τοὺς στρατιώτας ὁ βασιλεὺς ἐν βραχεῖ ἀποθανούμενος, ἐκεῖνοι λυπούμενοι παρήλασαν τὴν εὐνήν, οὗ ἔκειτο.

Ἀλλὰ μὴ ἐπιλαθώμεθα παντοίων στάσεων, ἃς ἐστασίαζον οἱ Μακεδόνες, ὅτι Ἀλέξανδρος πολλάκις ἐλύπει αὐτοὺς Περσικὴν ἐσθῆτα φέρων καὶ κόσμον, ὑπ᾽ ὀργῆς δὲ καὶ τιτρώσκων καὶ φίλους καὶ συστρατιώτας ὀξέσι λόγοις ἢ ἀδίκοις ζημίαις.

Εἶλεν ἄρα ἐντὸς δέκα ἐνιαυτῶν τὴν ἀρχὴν ἐκ τῆς Ἑλλάδος μέχρι τῶν Ἰνδῶν τείνουσαν. Καὶ ἤλπιζεν, ὡς λέγουσιν, καὶ τῶν τῆς Ἰταλίας χωρῶν τεύξεσθαι.

Сентенции

1. *Ηὕρηκα* (знаменитый возглас Архимеда). 2. *Χάριν λαβὼν μέμνησο καὶ δοὺς ἐπιλαθοῦ.* 3. *Πολλάκις αἱ γλῶτται μᾶλλον ἔτρωσαν ἢ αἱ μάχαιραι.* 4. *Λαβὼν ἀπόδος, ἄνθρωπε, καὶ λήψῃ πάλιν.* 5. *Ὦ δέσποτα, μέμνησο τῶν Ἀθηναίων* (легендарные слова, которые раб должен был каждый день повторять царю Дарию).

ἀγορεύω говорить, выступать с речью

ἁμαρτάνω ошибаться, погрешать

ἀναμιμνῄσκω вспоминать
ἀπόστασις, εως ἡ отступничество
γεγονώς, υῖα, ός рожденный
ἐγγύς вблизи
ἐλαύνω гнать, преследовать
ἐντυγχάνω случайно встречаться, натыкаться
ἐξελαύνω выгонять; выводить в торжественной процессии, выводить, выступать
ἐπιλανθάνομαι забывать
εὐνή, ῆς ἡ ложе
ζημία, ας ἡ наказание
καταβάλλω низвергать
λανθάνω быть скрытым
μέχρι + gen. вплоть до
μιμνῄσκω напоминать (*обычно в med.* вспоминать)
ὀργή, ῆς ἡ гнев
παρελαύνω tr. гнать мимо, *intr.* проезжать мимо
προλαμβάνω брать наперед, предупреждать в чем-либо
συνόμνυμι составлять заговор
συστρατιώτης, ου ὁ товарищ по оружию
τέμνω резать
τίνω платить, расплачиваться
τιτρώσκω ранить
τυγχάνω оказываться, достигать
φιλότιμος, ον честолюбивый

Из Нового Завета

Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ, ἐλθούσης δὲ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωήν, αὕτη εἰς θάνατον... (Рим. 7, 9-10).

...οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ οὔτε ἐδιδάχθην ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ (Гал. 1, 12).

Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσιν τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου (2 Тим. 2, 10).

Οὐχ ὅτι ἤδη ἔλαβον ἢ ἤδη τετελείωμαι, διώκω δὲ εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήμφθην ὑπὸ Χριστοῦ Ἰησοῦ. Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι· ἓν δέ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ θεοῦ ἐν Χριστῷ Ἰησοῦ (Фил. 3, 12-14).

ἁμαρτία, ας ἡ грех, ошибка
ἀναζάω оживать
βραβεῖον, ου τό награда на состязаниях

ἐντολή, ῆς ἡ заповедь
ἐπεκτείνομαι устремляться
κλῆσις, εως ἡ зов, призвание
σκοπός, οῦ ὁ цель
ὑπομένω терпеть

Из богослужения

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας. Ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου (Молитва перед Св. Причащением).

δεῖπνον, ου τό вечеря
κοινωνός, οῦ ὁ причастник, участник
λῃστής, οῦ ὁ разбойник
ὁμολογέω исповедовать
παραλαμβάνω принимать
φίλημα, ατος τό поцелуй

Упражнения

I. Переведите следующие формы и для каждой определите соответствующую в настоящем времени: *διδάξομεν, λήσομεν, εὑρήσομεν, ἀναμνήσομεν, τρώσομεν – γενήσεται, πεσεῖται, ἀποδράσεται, λήψεται, τέξεται, τεύξεται – αὐξηθέντες, γνωσθέντες, διδαχθέντες, τμηθέντες, ληφθέντες – πεπωκώς, εἰληφώς, ἐληλακώς, λεληθώς, ἡμαρτηκώς, πεπονθώς – μεμνῆσθαι, ηὑρῆσθαι, γεγενῆσθαι, ἐπιλελῆσθαι.*

II. Определите форму и для каждого глагола определите начальную форму: *τείνουσιν, τίνουσιν, τενοῦσιν, τείσουσιν – ἔπινον, ἔπιπτον, ἔπιον – πείσεται* (2), *πεισθήσεται – πείσειν, πεσεῖν – πέποιθας, πέπονθας – δεδρακέναι, ἀποδεδρακέναι – ἑλῶμεν, ἐλῶμεν.*

III. Переведите, обращая внимание на употребление причастия. Где в латинском языке причастным конструкциям соответствовали бы инфинитивные? Переведите эти предложения на латинский язык: 1. *Ἀλεξάν-*

δρου ἀποθανόντος οἱ Ἀθηναῖοι αὖθις συνώμοσαν ὡς ἐκβαλοῦντες τοὺς Μακεδόνας. 2. Ἀλλ' ἀφιστάμενοι οὐκ ἔλαθον τὸν Ἀλεξάνδρου διάδοχον. 3. Δημοσθένης οὐκ ἐπαύσατο τοὺς Ἕλληνας ἀναμιμνῄσκων τῆς ἐλευθερίας. 4. Ἐξ ἄστεως ἀποδρὰς καὶ διωχθεὶς ὑπὸ τῶν πολεμίων ἔφυγεν εἰς νῆσόν τινα. 5. Ἐπεὶ ᾔσθετο κεκυκλωμένος ὑπ' αὐτῶν, ἔπιε φάρμακον. 6. Πολλοὶ τῶν Ἀθηναίων ἐλυποῦντο ἀπεστερημένοι τοῦ ἐνδόξου πολίτου. 7. Καίπερ ψευσθεὶς τῶν ἐλευθερίας ἐλπίδων ὅμως μεγίστου ἐπαίνου ἀεὶ φανήσεται ἄξιος ὤν. 8. Πολλοὶ τῶν ὑστέρων αὐτὸν ἐθαύμαζον ὡς μέγιστον ῥήτορα ὄντα.

УРОК 59

Различные времена глаголов с расширенной основой; ἔχω.
Genetivus при μέλει; ἐπιμελέομαι; dativus при ἄχθομαι. Глаголы, сложные с ἔχω.

Различные времена глаголов с расширенной основой

Некоторые древнегреческие глаголы имеют наряду с краткой основой основу, распространенную с помощью суффикса ε/η. Часть этих глаголов от распространенной основы образует настоящее время, а все остальные времена или некоторые из них образуются от краткой основы:

γαμέω жениться (основа *γαμ-, γαμε-, γαμη-*): fut. act. – *γαμῶ, -εῖς*, aor. act. – *ἔγημα*, perf. act. – *γεγάμηκα*.

Прочие глаголы этой группы настоящее время образуют от краткой основы, а остальные времена или некоторые из них образуются от распространенной основы:

βούλομαι хотеть (основа *βουλ-, βουλη-*): fut. med. – *βουλήσομαι*, aor. pass. – *ἐβουλήθην*, perf. med.-pass. – *βεβούλημαι*.

Глагол ἔχω. Глаголы, сложные с ἔχω

У некоторых глаголов с расширенной основой образование основ может сопровождаться чередованием корневого гласного, как у глагола *ἔχω иметь* (основа *σεχ-, σχ-, σχη-*): fut. act. – *ἕξω* (основа *ἑχ-* < *σεχ-*) или *σχήσω*, aor. act. – *ἔσχον*, perf. act. – *ἔσχηκα*, perf. med.-pass. – *ἔσχημαι*. Имперфект этого глагола имеет форму *εἶχον* < **ἔσεχον*.

Глагол ἔχω употребителен с приставками: μετέχω (+ gen.) *принимать участие, иметь долю в чем-либо,* παρέχω *доставлять,* προσέχω *приближать, обращать,* (προσέχω τὸν νοῦν *обращать внимание*), ὑπερέχω *превосходить,* ὑπισχνέομαι *обещать.*

Синтаксис

1. От глагола μέλω *заботить* (основа μελ-, μελη-): fut. act. – μελήσω, aor. act. – ἐμέλησα, perf. act. – μεμέληκα обычно употребляются формы 3 лица единственного числа в безличном значении (μέλει *есть забота,* μελήσει *будет забота* и т. д.). При этом лицо, которого что-что заботит, указывается в дательном падеже, а предмет заботы – в родительном (genetivus obiectivus). Например:

οὐδὲν μέλει τῶν σκωμμάτων μοι мне нет никакого дела до насмешек.

2. В значении *заботиться* употребляется производный от μέλω префиксальный отложительный (deponens passivum) глагол ἐπιμελέομαι (или ἐπιμέλομαι) с формами: fut. med. – ἐπιμελήσομαι, aor. pass. – ἐπεμελήθην, perf. pass. – ἐπιμεμέλημαι, который также управляет родительным падежом (genetivus obiectivus).

3. В уроке 40 уже указывались глаголы, которые сохраняют краткий конечный гласный основы настоящего времени во всех глагольных формах, причем после основы вставляется -σ-, если за основой следуют согласные -μ, -τ, -θ. Таков и глагол ἄχθομαι *сердиться, негодовать* (основа – ἀχθεσ-, fut. med. – ἀχθέσομαι, aor. pass. – ἠχθέσθην). Этот глагол, будучи одним из глаголов, выражающих чувство (verba affectuum), управляет дательным падежом (dativus causae).

Эллинизм

Ἀλέξανδρος πολεμῶν τοῖς Βακτρίοις ἐκεῖ ἐγεγαμήκει παρθένον καλλίστην Ῥωξάνην ὄνομα. Ἀλλ' ὁ υἱός, ὃν

ἐτετόκει ἐκείνου ἤδη ἀποθανόντος, τῆς βασιλείας οὐ μετέσχεν. Παῖς γὰρ ἔτι ὢν σὺν τῇ μητρὶ ἐφονεύθη. Τοῖς οὖν Ἀλεξάνδρου στρατηγοῖς οὐδὲν ἄλλο ἐμέλησεν ἢ μετασχεῖν ὡς μακροτάτων καὶ πλουσιωτάτων χωρῶν, καὶ οὐδὲν κάλλιον ἔδοξεν αὐτοῖς ἢ ἄρξαι τῶν βαρβάρων ἐθνῶν. Οἱ οὖν διάδοχοι καλούμενοι ἄλλος ἄλλου ὑπερσχεῖν βουληθέντες ἐμαχέσαντο ἀλλήλοις, ἕως ἡ μεγάλη Ἀλεξάνδρου ἀρχὴ διεμεμέριστο εἰς ἐνίας βασιλείας, ὧν αἱ μέγισται ἦσαν ἡ Αἴγυπτος καὶ ἡ Συρία καὶ ἡ Μακεδονία.

Μετ' οὖν ὀλίγον χρόνον πολλοὶ τῶν βαρβάρων μεμειγμένοι τοῖς Ἕλλησιν ἐμεμαθήκεσαν ἑλληνίζειν. Οἱ δὲ νέοι κύριοι Ἕλληνες ὄντες τὸ γένος οὐχ ἧττον τῶν πάλαι σατραπῶν τοὺς ἐνοίκους ἐπίεζον ἐπιμελούμενοι τῆς ἰδίας εὐδαιμονίας, ὥστε αὐτῶν τε οἱ θησαυροὶ ἐνεπλήσθησαν χρυσοῦ καὶ αἱ πόλεις ἐκοσμήθησαν μεγαλοπρεπέστατα.

Οὕτω οἱ τῶν Περγαμηνίων βασιλεῖς νικήσαντες τοὺς Γαλάτας καὶ οἰηθέντες τῇ τῶν θεῶν βοηθείᾳ σεσῶσθαι τὸν λαμπρὸν τοῦ Διὸς βωμὸν ἀνέθεσαν, ὃν καὶ οἱ νῦν ἄνθρωποι θαυμάζουσιν.

Πασῶν δὲ τῶν πόλεων ὄλβῳ καὶ κάλλει ὑπερεῖχεν ἡ Ἀλεξάνδρεια. Ἐκεῖ γὰρ οἱ Πτολεμαῖοι ὥσπερ οἱ πρότεροι τῶν Αἰγυπτίων δεσπόται πολλοὺς φόρους ἐκ τῶν ἐμπόρων καὶ ἐργατῶν καὶ γεωργῶν ἐξεπίεζον. Ἀλλ' αὐτοῖς οὐ μόνον ἐμέλησε τῆς χρημάτων κτήσεως, ἀλλὰ καὶ τὸν νοῦν προσεῖχον ταῖς τε τέχναις καὶ ἐπιστήμαις. Οὕτως ἱδρυθῆναι ἐκέλευσαν τὸν μέγαν φάρον, οὗ τῷ φωτὶ τοῖς ναύταις νύκτωρ αἱ ὁδοὶ ἐδείκνυντο. Ἐν δὲ τῷ Μουσείῳ καὶ ἐν τῇ βιβλιοθήκῃ ἐκάθηντο πολλοὶ ἄνθρωποι ἐπιμελούμενοι παντοίων μαθημάτων. Πολλοὶ νεανίαι ἐκεῖ ἐμάνθανον χαρέντες τῇ τῶν διδασκάλων σοφίᾳ. Ἀρχιμήδης, ὁ ἔνδοξος μηχανικός, ὃς ὕστερον ἀπιὼν ᾤχετο εἰς τὴν Σικελίαν, νέος ὢν ἐν Ἀλεξανδρείᾳ ἐβιότευεν. Εὐκλείδης δὲ ὅλην τὴν μαθηματικὴν συνέγραψε, καὶ Ἀρίσταρχος ἐδίδαξε τὴν γῆν περὶ τοῦ ἡλίου καὶ τοῦ ἰδίου πόλου στρέφεσθαι, καὶ Ἐρατοσθένης ἐκεῖ νέον τῆς γῆς πίνακα ἔγραψεν.

Ἐνταῦθα ἄρα πολλαὶ μυριάδες ἀνδρῶν ἠγείροντο, Μακεδόνες, Ἕλληνες, Αἰγύπτιοι, Ἰουδαῖοι. Πάντες ἡλλήνιζον, οὐχ Ἕλληνες ὄντες, ἀλλὰ κοσμοπολῖται, ὡς ἔφασαν.

Сентенции

1. *Λίαν φιλῶν σεαυτὸν οὐχ ἕξεις φίλους.* 2. *Ἐὰν ἔχωμεν χρήματ', ἕξομεν φίλους.*

ἀπέχομαι воздерживаться
Ἀρίσταρχος, ου ὁ Аристарх, (*знаменитый ученый эпохи эллинизма*)
ἄχθομαι сердиться, негодовать
Βάκτριος, α, ον бактрийский; *ὁ Β.* бактриец
βιβλιοθήκη, ης ἡ библиотека, книгохранилище
Γαλάτης, ου ὁ галат
γαμέω + acc. жениться (*на ком-либо*); *γαμέομαι* + *dat.* выходить замуж
ἐκπιέζω вытеснять, выжимать
ἑλληνίζω подражать грекам, говорить по-гречески
ἐπιμελέομαι (*ἐπιμέλομαι*) заботиться
Ἐρατοσθένης, ους ὁ Эратосфен
Εὐκλείδης, ου ὁ Евклид
Εὐρώπη, ης ἡ Европа
ἔχει *οὕτως* (*εὖ*) быть в таком (хорошем) состоянии
Ἰουδαῖος, ου ὁ иудей
κοσμοπολίτης, ου ὁ гражданин мира
κτῆσις, εως ἡ приобретение
λίαν слишком
μάθημα, ατος τό учение, знание
μαθηματική, ῆς ἡ математика
μεταμέλει *μοι* я раскаиваюсь
μηχανικός, ή, όν изобретательный; механический
Μουσεῖον, ου τό храм Муз
μέλει *μοι* + *gen.* меня заботит что-либо
οἴομαι (*οἶμαι*) думать, полагать
οἴχομαι уходить, удаляться
Περγαμηνιός, οῦ ὁ пергамец
πόλος, ου ὁ полюс, небесная ось, небо
προσέχω τὸν νοῦν обращать внимание
Πτολεμαῖος, ου ὁ Птолемей (*имя многих царей Египта*)
Ῥωξάνη, ης ἡ Роксана
ὑπισχνέομαι обещать
φάρος, ου ὁ маяк
φῶς, φωτός τό свет

Из Нового Завета

...καὶ λέγουσιν αὐτῷ· διδάσκαλε, οὐ μέλει σοι ὅτι ἀπολλύμεθα; (Мк. 4, 38).

Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν, κρεῖττον γάρ ἐστιν γαμῆσαι ἢ πυροῦσθαι. Τοῖς δὲ γεγαμηκόσιν παραγγέλλω, οὐκ ἐγὼ ἀλλὰ ὁ κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι,- ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος ἢ τῷ ἀνδρὶ καταλλαγήτω,- καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι (1 Кор. 7, 8-11).

Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω· καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, μὴ ὢν αὐτὸς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω· τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος θεοῦ ἀλλ' ἔννομος Χριστοῦ, ἵνα κερδάνω τοὺς ἀνόμους· ἐγενόμην τοῖς ἀσθενέσιν ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω· τοῖς πᾶσιν γέγονα πάντα, ἵνα πάντως τινὰς σώσω. Πάντα δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι (1 Кор. 9, 19-23).

ἄγαμος, ου ὁ неженатый, безбрачный
γαμέω жениться
ἐγκρατεύομαι воздерживаться
ἔννομος, ον поступающий по законам
καταλλάττω зд. примирять
μέλω заботить, занимать
μένω, аог. *ἔμεινα* оставаться, пребывать
πυρόομαι разжигаться
χωρίζω отделять

Из богослужения

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν· ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν... (Тропарь воскресной утрени по трисвятом).

ᾄδω, аог. *ᾖσα* петь
ἀρχηγός, οῦ ὁ основатель, творец

Упражнения

I. Переведите, обращая внимание на употребление глаголов *μέλλω* и *μέλει*: 1. *Μὴ μελλήσῃς τὰ δέοντα ποιῆσαι*. 2. *Νῦν οὐ μελλητέον, ἀλλὰ πρακτέον ἐστίν*. 3. *Ἐπεὶ ἐμέλ-*

λησεν ὁ Ἀλκιβιάδης σὺν τῷ ναυτικῷ πλεύσεσθαι εἰς τὴν Σικελίαν, πολλοὺς πολίτας εἷλε λύπη καὶ φόβος. 4. *Ἐμέλησε τῷ Σωκράτει τῆς τῶν Ἀθηναίων παιδείας*. 5. *Μὴ ἐπιμεληθῇς ἄλλων πρὶν σεαυτοῦ ἐπιμεληθῆναι, ὅπως ὡς βέλτιστος ἔσῃ*. 6. *Τοῖς Ἀθηναίοις ὕστερον μετεμέλησε τῆς παλαιᾶς διαφορᾶς*.

II. Переведите, обращая внимание на формы глагола *ἔχω*: 1. *Ἀεὶ τοῖς ἀγαθοῖς διδασκάλοις χάριν ἕξομεν*. 2. *Ἀθήνησιν οὐκ ἐξῆν τοῖς ξένοις μετασχεῖν τῆς πολιτείας*. 3. *Νῦν, ὦ μαθηταί, δέοι ἂν προσσχεῖν τὸν νοῦν τοῖς μαθήμασιν*. 4. *Περικλῆς πάντων ὑπερεῖχε τῇ τοῦ λέγειν ἀρετῇ*. 5. *Οἱ Ἀθηναῖοι βουληθέντες* (*ἐθελήσαντες*) *τοῖς Ἴωσι βοήθειαν παρασχεῖν ὑπέσχοντο ναυτικὸν πέμψειν*. 6. *Εἰ ἀπέχεσθε τῆς ὕβρεως, εὖ ἔχει*.

III. Повторение частицы *ἄν*: 1. *Εἰ μὴ ἐπιμεληθείης τῶν δεόντων, ὁ πατήρ σου ἀχθεσθείη ἄν*. 2. *Ὁ σοφὸς οὐκ ἄχθεται, ὅταν ἁμαρτὼν ἐλεγχθῇ*. 3. *Μηδὲν ὑπισχνοῦ, πρὶν ἂν λογίσῃ, εἰ τοῦτο διαπράξαι δύνασαι*. 4. *Ξέρξης τῶν Ἑλλήνων ὑπερέσχεν ἄν, εἰ μὴ Θεμιστοκλῆς τοῖς Ἀθηναίοις ἐπέστη*. 5. «*Ὅστις ἂν δόξῃ τῆς ἀρετῆς μετασχεῖν, – ἔφη Σωκράτης, – τοῦτον εἴωθα ἐξετάζειν*». 6. *Ὁ αὐτός*· «*Ἔφευγον ἄν, – ἔφη, – ἐκ τοῦ δεσμωτηρίου, εἰ δίκαιον καὶ ἀγαθὸν ἦν*». 7. *Ἐσθλοῦ ἂν εἴη ἀνδρός, οἶμαι, χαρῆναι μὲν καλοῖς πράγμασιν, ἀχθεσθῆναι δὲ αἰσχροῖς*.

УРОК 60

Глаголы с супплетивными основами.

Глаголы с супплетивными основами

Небольшая группа глаголов древнегреческого языка при образовании времен использует основы, произведенные от различных корней, близких по значению. Такие глаголы называются супплетивными (от латинского слова supplere *дополнять*). Подобные глаголы есть и в других языках, например, в русском (*есть*, но *буду*) и латинском (sum, но fui).

Таковы, например, глаголы:

αἱρέω брать (основы *ἁιρη-, ἁιρε-, ἑλ-*): fut. act. – *αἱρήσω*, aor. act. – *εἷλον*, aor. pass. – *ᾑρέθην*, perf. act. – *ᾕρηκα*, perf. med.-pass. – *ᾕρημαι;*

ἔρχομαι приходить (основы *ἐρχ-, ἐλθ-, ἐλυθ-, ἐλευθ-, εἰ-*): fut. act. – *εἶμι, ἐλεύσομαι*, aor. act. – *ἦλθον*, perf. act. – *ἐλήλυθα;*

ἐσθίω есть (основы *ἐσθι-, ἐδ-, ἐδε-, φαγ-*): fut. act. – *ἔδομαι*, aor. act. – *ἔφαγον*, perf. act. – *ἐδήδοκα*, perf. med.-pass. – *ἐδήδεσμαι;*

λέγω, ἀγορεύω говорить (основы *λεγ-, ἀγορευ-, ἐπ-, ἐρ-, ἐρη-, ῥη-*): fut. act. – *ἐρῶ, -εῖς, λέξω*, aor. act. – *εἶπον, εἶπα, ἔλεξα*, aor. pass. – *ἐρρήθην, ἐλέχθην*, perf. act. – *εἴρηκα*, perf. med.-pass. – *εἴρημαι, λέλεγμαι;*

ὁράω видеть (основы *ὁρα-, ἰδ-, ὀπ-*): fut. act. – *ὄψομαι, ὄψει*, aor. act. – *εἶδον*, aor. pass. – *ὤφθην*, perf. act. – *ἑώρακα, ὄπωπα*, perf. med.-pass. – *ἑώραμαι, ὦμμαι;*

τρέχω бежать (основы *τρεχ-, δραμ-, δραμη-*): fut. act. – *δραμοῦμαι, -εῖ*, aor. act. – *ἔδραμον*, perf. act. – *δεδράμηκα;*

φέρω нести (основы *φερ-, οἰ-, ἐνεγκ-, ἐνεκ-*): fut. act. – *οἴσω*, aor. act. – *ἤνεγκον, ἤνεγκα*, aor. pass. – *ἠνέχθην*, perf. act. – *ἐνήνοχα*, perf. med.-pass. – *ἐνήνεγμαι.*

Ἐν τῷ αὐτῷ ἔτει, ἐν ᾧ οἱ Ῥωμαῖοι τήν τε Σικελίαν καὶ τὴν Μακεδονίαν καὶ τὴν Ἑλλάδα αὐτὴν καταστρεψάμενοι τὴν Καρχηδόνα εἷλον καὶ διέφθειραν, ᾑρέθη καὶ διεφθάρη καὶ ἡ Κόρινθος. Οἱ γὰρ Ῥωμαῖοι ἔμποροι, οἳ φθονερῶς ἑοράκεσαν ἐκείνας τὰς πόλεις ἐμπορίᾳ πλουσίας γεγενημένας, ἠθέλησαν καὶ αὐτοὶ πριάμενοι καὶ πωλήσαντες πλέον κερδαίνειν. Ἐκ δὲ τῆς Κορίνθου τῆς ᾑρημένης ἀπηνέχθη πάντα τὰ ἀγάλματα εἰς τὴν Ῥώμην. Οὕτως ἐκεῖ οἱ τῶν πλουσίων οἶκοι ἐνεπλήσθησαν ἀναθημάτων καὶ ἀνδριάντων, καὶ οἱ Ῥωμαῖοι ἤρξαντο χαρῆναι τῇ τῶν Ἑλλήνων τέχνῃ. Ἐκ τούτου οὖν τοῦ χρόνου οὐκ ὀλίγοι Ἕλληνες ᾤφθησαν ἐν τῇ Ῥώμῃ. Πρῶτον μὲν ἧκον Ἑλληνικοὶ δοῦλοι ἰατροὶ καὶ παιδαγωγοὶ ὄντες. Μετ' ὀλίγον χρόνον πολλοὶ ῥήτορες καὶ φιλόσοφοι Ἑλληνικοὶ ἑκόντες ἀπέλιπον τὴν πατρίδα ὡς οἴσοντες τὴν ἑαυτῶν σοφίαν εἰς τὴν Ῥώμην. Ὕστερον δὲ πολλοὶ Ῥωμαῖοι, ὥσπερ Κικέρων, εἰς τὰς Ἀθήνας ᾖσαν ὡς μαθησόμενοι τὰ τῶν Ἑλλήνων μαθήματα καὶ ὀψόμενοι τὰ τῶν παρεληλυθότων χρόνων μνημεῖα καὶ οἴκοι ἐροῦντες περὶ τῶν ἐκεῖ ἠκουσμένων καὶ ὠμμένων. Τότε καὶ οἱ Ῥωμαῖοι ὥσπερ οἱ Ἕλληνες βασιλικὰς καὶ θέατρα καὶ ναοὺς ᾠκοδόμησαν. Ἀλλὰ καὶ τοῦτο ῥητέον ἐστὶ τοὺς Ῥωμαίους μαθητὰς γενέσθαι τῆς Ἑλληνικῆς ποιήσεως καὶ ῥητορικῆς καὶ συγγραφῆς. Δικαίως ἄρα εἴρηκε ποιητής τις Ῥωμαῖος τὴν Ἑλλάδα νενικημένην νικῆσαι τοὺς νενικηκότας. Ἃ δὲ παρὰ τῶν Ἑλλήνων ἐμεμαθήκεσαν καὶ ἃ αὐτοὶ προσετεθήκεσαν, ταῦτα εἰσηνέχθη εἰς ἄλλας χώρας ὑπ' αὐτῶν ᾑρημένας.

Διὰ τοῦτο ἔροιτό τις ἄν, ὅ τι ἡμεῖς παρειλήφαμεν πρὸς τῶν Ἑλλήνων. Οὐ μόνον ἐροῦμεν περὶ τῶν θαυμασίων λειψάνων, ἃ συνείλεκται καὶ σέσωται ἐν πολλαῖς τῆς Εὐρώπης πόλεσιν. Μέμνησο δὲ καὶ τοὺς Ἕλληνας τὰ πάσης τέχνης καὶ ἐπιστήμης στοιχεῖα ἢ ηὑρηκέναι ἢ προσηχέναι ὥσπερ τῆς ἰατρικῆς καὶ τῆς γεωγραφίας καὶ τῆς ἀστρονομίας. Οὐχ ἧττω χάριν σχῶμεν τοῖς ποιηταῖς καὶ

φιλοσόφοις αὐτῶν. Ὅτι ἡμεῖς καθ' ἡμέραν πολλοῖς Ἑλληνικοῖς ὀνόμασι χρώμεθα, πάντες ἴσασιν.

Εὐδαίμονες ἄρα νομιστέοι εἰσίν, οἳ ἂν αὐτοὶ τῆς Ἑλληνικῆς γλώττης ἔμπειροι ὦσιν. Γνώσονται γὰρ σαφέστατα ἐκ τῶν ὑπὸ τῶν Ἑλλήνων καὶ Ῥωμαίων πεπραγμένων ἐκφῦναι τὴν νῦν Εὐρώπην.

Сентенция

Ἀριστοτέλης τῆς παιδείας τὰς μὲν ῥίζας πικρὰς εἶναι ἔφη, τοὺς δὲ καρποὺς γλυκεῖς.

Эпитафия

Πολλὰ πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ κακ' εἰπὼν
Ἀνθρώπους κεῖμαι Τιμωκρέων Ῥόδιος.

ἀποφέρω уносить, уводить
ἀστρονομία, ας ἡ астрономия
ἐπριάμην *атт. аорист к ὠνέομαι* покупать
Κικέρων, ωνος ὁ Цицерон
κλίνη, ης ἡ ложе
Κόρινθος, ου ἡ Коринф
λείψανον, ου τό остаток; *pl.* останки
μωρία, ας ἡ глупость
παιδαγωγός, οῦ ὁ воспитатель, наставник (ср. *педагог*)
παραλαμβάνω принимать, перенимать
παρέρχομαι проходить мимо
πικρός, ά, όν горький
προάγω проводить вперед, побуждать; *intr.* идти вперед
ῥίζα, ης ἡ корень
Ῥόδιος, α, ον родосский, *ὁ Ῥ.* родосец
στοιχεῖον, ου τό стихия, элемент

Из Нового Завета

Ἀλλὰ ἀνάστηθι καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαι σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες με ὧν τε ὀφθήσομαι σοι, ἐξαιρούμενος σε ἐκ τοῦ λαοῦ καὶ ἐκ τῶν ἐθνῶν εἰς οὓς ἐγὼ ἀποστέλλω σε... (Деян. 26, 16-17).

Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς ὅταν Μακεδονίαν διέλθω· Μακεδονίαν γὰρ διέρχομαι, πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ

ἢ καὶ παραχειμάσω, ἵνα ὑμεῖς με προπέμψητε οὗ ἐὰν πορεύωμαι (1 Кор. 16, 5-6).

Καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ Κύριος Ἰησοῦς ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ... (2 Фес. 2, 8).

...οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος... (2 Фес. 3, 7-8).

...(Ἰησοῦς Χριστός) ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ κράτος αἰώνιον, ἀμήν (1 Тим. 6, 16).

ἐξαίρω изымать
παραχείμαζω проводить зиму
προχειρίζομαι готовить, назначать
ὑπηρέτης, ου ὁ слуга

Из богослужения

Εἰ καὶ ἐν τάφῳ κατῆλθες, ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, χαίρετε, καὶ τοῖς σοῖς ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν (Кондак Пасхи).

Ὀρθρίσωμεν ὄρθρου βαθέος καὶ αντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ δεσπότῃ· καὶ Χριστὸν ὀψόμεθα δικαιοσύνης ἥλιον πᾶσι ζωὴν ἀνατέλλοντα (Ирмос 5 песни канона Пасхи).

Упражнения

I. Назовите начальную форму настоящего времени для следующих корней и установите, в каких формах глагола она используется: *ἰδ-, ἐδ-, ἐρ-* (2), *φαγ-, ἑλ-, δραμ-, οἰσ-, ῥη-, ἐλθ-, ὀπ-.*

II. Определите формы: *οἴσει, οἰήσῃ – οἶμαι, ὦμμαι – ἐλῶν, ἑλών – ἐπώλησεν, ἐπρίατο, ἀπέδοτο – ὀνήσει, ὠνήσῃ – ὀνῆσαι, ἐωνῆσθαι – ἐροῦντες, ἐρόμενοι, εἰρημένοι – ἐληλυθέναι, ἐνηνοχέναι, εἰληφέναι, λεληθέναι – ἔρχονται, ἄρχονται, ἤρχοντο.*

III. Переведите: 1. *Εἴθε τὰ εἰρημένα ὀρθῶς σκέψαισθε.* 2. *Ὁ σοφὸς καὶ τὰ τοῦ βίου πάθη ῥᾷον ἂν ἐνέγκοι.* 3. *Οἱ ἐν ἄστει κεκυκλωμένοι ἀλλήλους ἤροντο, τί ἔδοιντο καὶ πίοιντο.* 4. *Σωκράτης ἤρετο τὸν Ξενοφῶντα, ποῦ πρίαιτο τὴν ἀρετήν. Ὁ δὲ οὐκ ἔφη εἰδέναι.* 5. *Οἱ Ἀθηναῖοι εἰς ἄλλας χώρας ἔπλευσαν, ἵνα ὡς πλεῖστα ὤνια πρίαιντο καὶ πωλοῖεν.* 6. *Τραχεῖς κύριοι ἀεὶ ἐφοβοῦντο, μὴ οἱ δοῦλοι ἀποδράμοιεν.* 7. *Οἱ παλαιοί, ὁπότε φάγοιεν καὶ πίοιεν, ἔκειντο ἐν κλίναις.* В каких фразах оптатив может быть заменен другим наклонением, и каким именно?

СОДЕРЖАНИЕ

Учебное издание

Составители:
Ф. Вольф, Н. К. Малинаускене

при участии
А. И. Любжина, Ю. А. Шичалина, А. А. Глухова, Д. О. Торшилова иеромонаха Дионисия (Шленова), иеромонаха Тихона (Зимина)

Древнегреческий язык
Начальный курс. Часть II.

Редактор *Ж. П. Григорьева*
Компьютерная верстка *Д. О. Торшилов*

Изд. лиц. ЛР № 040433 от 03.06.1997
Подписано в печать 16.05.2004. Формат 60x90/16
Гарнитура «Палатино». Усл. печ. л. 14,5
Тираж 1000 экз. Заказ

Издательство «Греко-латинский кабинет»® Ю.А. Шичалина
e-mail: info@mgl.ru
http://www.mgl.ru